ἐκ τοῦ παραχρῆμ' ἐνίοις ἐπελθεῖν ἂν εἰπεῖν, ὥστ' ἐξ ἁπάν|των ῥᾳδίαν τὴν τοῦ συμφέροντος ὑμῖν αἵρεσιν γενέσθαι.

## [Δ]

2 Ἔστι δέ, ὦ ἄνδρες Ἀθηναῖοι, δίκαιον, ἐπειδὴ ἐφ' ὑμῖν ἐστιν ἑλέσθαι τῶν ῥηθέντων ὅ τι ἂν βούλησθε, ἁπάντων ἀκοῦσαι· καὶ γὰρ πολλάκις συμβαίνει τὸν αὐτὸν ἄνθρωπον τοῦτο μὲν μὴ λέγειν ὀρθῶς, ἕτερον δέ τι· ἐκ μὲν οὖν τοῦ θορυβεῖν τάχ' ἂν δυσχεράναντες πολλῶν χρησίμων ἀποστερηθείητε, ἐκ δὲ τοῦ μετὰ κόσμου καὶ σιγῆς ἀκοῦσαι καὶ τὰ καλῶς ἔχονθ' ἅπαντα ποιήσετε, κἂν δοκῇ τις παραληρεῖν, παραλείψετε. Ἐγὼ μὲν οὖν οὔτ' εἴωθα μακρολογεῖν, οὔτ' ἄν, εἰ τὸν ἄλλον εἰώθειν χρόνον, νῦν ἐχρησάμην τούτῳ, ἀλλ' ἃ συμφέρειν ὑμῖν νομίζω, ταῦθ' ὡς ἂν δύνωμαι διὰ βραχυτάτων ἐρῶ πρὸς ὑμᾶς.

## Δ (Ε)

1 Ὁρῶ μέν, ὦ ἄνδρες Ἀθηναῖοι, παντάπασι πρόδηλον ὂν οὕς τ' ἂν ἀκούσαιτε λόγους ἡδέως καὶ πρὸς οὓς οὐκ οἰκείως ἔχετε· οὐ μὴν ἀλλὰ τὸ μὲν λέγειν ἅ τις οἴεται χαριεῖσθαι τῶν παρακρούσασθαί τι βουλομένων εἶναι νομίζω, τὸ δ' ὑφίστασθαι περὶ ὧν πέπεικεν ἑαυτὸν συμφέρειν τῇ πόλει, κἂν θορυβηθῆναι κἂν ἄλλο τι βούλησθ' ὑμεῖς, εὔνου καὶ δικαίου τοῦτο πολίτου κρίνω.

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416057004/10 UNIVERSITÄT LEIPZIG